# TEZAUR LITURGIC

## 30 IANUARIE

GHEORGHIOS GALANOPOULOS

# ACATISTUL SF.CUVIOASE EMILIA,NONA ŞI ANTUSA

## MAMELE SF.TREI IERARHI VASILE,GRIGORIE ŞI IOAN

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΤΩΝ ΑΓΙΩΝ ΜΗΤΕΡΩΝ ΤΩΝ ΤΡΙΩΝ ΙΕΡΑΡΧΩΝ ΝΟΝΑΣ, ΕΜΜΕΛΕΙΑΣ & ΑΝΘΟΥΣΗΣ

# ΧΑΙΡΕΤΙΣΜΟΙ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὰς Βασιλείου Γρηγορίου Ἰωάννου τε, σεμνὰς Μητέρας ἐν ᾠδαῖς ἀνευφημήσωμεν, τὴν Ἐμμέλειαν καὶ Νόνναν σὺν τῇ Ἀνθούσῃ, εὐσεβείᾳ γὰρ τὰ τέκνα ἀναθρέψασαι, σὺν αὐτοῖς ἀγαλλιῶνται καὶ πρεσβεύουσι, τῶν βοώντων νῦν· χαῖρε Σύναξις ἔνθεος.

Ἄγγελοι σὺν ἀνθρώποις, ἐπαγάλλονται πόθῳ, ποιοῦντες ὑμῶν Σύναξιν θείαν *(γ΄)*, καὶ σὺν τῇ Ἐμμελείᾳ ᾠδάς, τὴν πιστὴν Νόνναν καὶ Ἀνθοῦσαν μέλπουσιν, ἱστάμενοι θαυμάζοντες, τοῦ βίου διαυγές, βοῶντες·

Χαῖρε, δι᾽ ὧν ἡ χαρᾶ ἐκλάμπει·
χαῖρε, δι᾽ ὧν τοὺς πιστοὺς αὐγάζει.
Χαῖρε, πεπτωκότων ἀνθρώπων ἀνάκλησις·
χαῖρε, ἀθυμούντων ψυχῶν ἡ παράκλησις.
Χαῖρε, Μῆτερ εὐσυμπάθητε, σχοῦσα χάριν μυστικήν·
χαῖρε, σκεῦος τὸ ὀστράκινον, εὐσεβὲς ἐν τῇ ζωῇ.

Χαῖρε, ὅ,τι αὐλύζει μετ’ Ἀγγέλων νῦν πόλῳ·
χαῖρε, ὅ,τι πρεσβεύεις τῇ Τριάδι ἀπαύστως.
Χαῖρε, σεμνὴ λαβοῦσα φῶς χάριτος·
χαῖρε, σοφὴ λαμπρύνουσα πέρατα.
Χαῖρε, δι’ ἧς κατηυφράνθη ἡ κτίσις·
χαῖρε, δι’ ἧς ἐδοξάσθη ὁ Κτίστηε.
Χαῖρε, Σύναξις ἔνθεος.

Βλέπουσα Ὀρθοδόξων, ἡ πληθὺς τὸν σὸν βίον, καὶ πάσας ἀρετὰς ἐκβοᾶ σοι· τὰ ὑπερφυῆ σου θαυμαστά, ἐμφανέστατα ἀληθῶς ἐδείκνυντο, διὸ γόνυ κλίνουσα, τιμᾷ μορφήν σου, Μῆτερ κράζουσα·
Ἀλληλούϊα.

Γνῶσιν βίου σου σχῶμεν, ὦ Ἐμμέλεια Μῆτερ, ἃ τρόποις ἐν οἰκίᾳ εἰργάσω, ὅθεν λιποῦσα σύ, τρυφὴν δόξαν, μετ’ εὐσεβείας πολλῆς ἔτεκες, καὶ ἐξέθρεψας τέκνων σου δεκάδι, τοῦ βοᾶν σοι οὕτως·
Χαῖρε, σοφὴ ἐκ κινδύνων ῥύστις·
χαῖρε, προσευχῆς ἔνθερμος πίστις.
Χαῖρε, εὐσεβείας πηγῆς, ῥοῦς ἀείῤῥοος·
χαῖρε, ἐναρέτου ζωῆς κρήνη χάριτος.
Χαῖρε, κλίμαξ ἄνω φέρουσα, τοὺς πιστοὺς πρὸς οὐρανόν·
χαῖρε, πρέσβυς θερμοτάτη νῦν, αἰτημάτων πρὸς Χριστόν.
Χαῖρε, ἡ ὁμιλοῦσα τοῖς χοροῖς θείων νόων·
χαῖρε, ἡ μεθ’ Ὁσίων συνομόσκηνος οὖσα.

Χαῖρε, λαμπρὸν μητέρων ἀγλάϊσμα·
χαῖρε, οἰκογενείας παράδειγμα.
Χαῖρε, πιστὴ τῆς οἰκίας προστάτις·
χαῖρε, καλὴ τοῦ Κυρίου ἐργάτις.
Χαῖρε, Σύναξις ἔνθεος.

Δύναμιν οὐρανόθεν, ἐξαπάστειλε θείαν, πρὸς σὸν φωτισμὸν ὁ παντεπόπτης, καὶ νοῦν εὔγνωστον εὗρε σοφή, εἰς ὃν Θεὸς ᾤκησε, διὸ ἔσπευδες Ἐμμέλεια, Αὐτῷ προσευχομένη, ἀεννάως τ᾽ ᾄδειν·
Ἀλληλούϊα.

Ἔχουσα ἄνω νοῦν σου, εὐχομένη ἀπαύστως, διέλυσας δεσμὰ ἀτεκνίας, καὶ ἀγῶνας ὢ Νόννα εὐθὺς τοὺς ἀσκητικούς, ηὔξησας ῥοὰς δακρύων, νηστείαν καὶ ἐγκράτειαν, πόνους οὓς τιμῶμεν σοὶ βοῶντες·
Χαῖρε, βλαστοῦ ἀμαράντου ῥίζα·
χαῖρε, πιστῶν ἀγλαόκαρπον δένδρον.
Χαῖρε, ἀρετῶν μυροθήκη τοῦ Πνεύματος·
χαῖρε, εὐσεβῶν ὁ θειότατος ἔπαινος.
Χαῖρε, οἴκημα ἄλλοτριον, κατοικίας πειρασμῶν·
χαῖρε, ὀλεθρία δαίμοσιν, πονηρῶν τ᾽ ἐπηρειῶν.
Χαῖρε, ὅτι προχέεις ἰαμάτων τὰ ῥεῖθρα·
χαῖρε, τοῦ σοῦ συζύγου, βαπτισμοῦ κολυμβῆθρα.
Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα·
χαῖρε, σατᾶν τοῦ πλάνου φυγάδευμα.
Χαῖρε, Θεοῦ πρὸς ἡμᾶς σωτηρία·
χαῖρε, ἡμῶν πρὸς Χριστὸν ἱκεσία.

Χαῖρε, Σύναξις ἔνθεος.

Ζάλης τάραχον, σκότος λογισμῶν ψυχοκτόνων, ἐδίωξας καθάρασα νοῦν σου, καὶ μητέρων, μήτηρ Νόννα γέγονας, διδάσκουσα, θεωρίαις καὶ πράξεσιν, ἀρετῶν τὴν κατόρθωσιν, Θεῷ δ’ εὐαρεστεῖν καὶ ψάλλειν·
Ἀλληλούϊα.

Ἤκουσέ τε καὶ εἶδε, καλλονήν σε Σεκοῦνδος, καὶ ἔλαβε συμβίαν Ἀνθοῦσα, καὶ τέξασα τὸν Ἰωάννην, εὐθὺς χῆρα μήτηρ, νεαρὰ μείνασα, ἀνέθρεψας ἐν πίστει, εὐχομένη αὐτῷ, διὸ σοὶ ἀξίως φῶμεν·
Χαῖρε, τῆς Ἀντιοχείας θρέμμα·
χαῖρε, εὐγενοῦς οἰκίας στέμμα.
Χαῖρε, τῶν ποικίλων ἐχθρῶν ἀμυντήριον·
χαῖρε, συζυγίας καλὸν οἰκητήριον.
Χαῖρε, ὅ,τι νῦν οὐράνια συναγάλλεται τῇ γῇ·
χαῖρε, ὅ,τι τὰ περίγεια, τὸν σὸν βίον ἐπαινεῖ.
Χαῖρε, τῆς εὐλαβείας θεοκίνητον στόμα·
χαῖρε, ἡ τῆς χηρείας μέγα ἄρασα βάρος.
Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα·
χαῖρε, στοργῆς γενναῖον ὑπόδειγμα.
Χαῖρε, δι’ ἧς τῶν εἰδώλων ὁ κόσμος·
χαῖρε, δι’ ἧς καὶ σατᾶν κατησχύνθη.
Χαῖρε, Σύναξις ἔνθεος.

Θεοβράβευτε Μῆτερ, σεβασμία Ἀνθοῦσα, ἐδείχθης σωφροσύνης ἡ στήλη, διὸ εἶδόν σε Ἀντιοχεῖς, καὶ θαυμαστικῶς, ὁ ῥήτωρ Λιβάνιος, ὡς Χριστιανὴ μητέρα ἐπήνεσεν, κἀμεῖς δὲ φῶμεν·
Ἀλληλούϊα.

Ἴσα πᾶσι δικαίως, ἀποδίδως θεόφρον, ἔργοις ἐκήρυττες δικαιοσύνην, ὡς φιλάδελφον ὁρῶντες καὶ φιλόκτεκνόν σε, ἔσπευδε λαός, ἐλεημοσύνην ἵνα λάβῃ, παρὰ σοῦ Ἐμμέλεια Μῆτερ, πόθῳ λέγων·
Χαῖρε, λαμπρὸν Καισαρείας θρέμμα·
χαῖρε, λαοῦ εὐσεβοῦντος δόξα.
Χαῖρε, ψευδωνύμων δαιμόνων ὁ ἔλεγχος·
χαῖρε, τῆς Τριάδος ψαλμῳδία ἀσίγητος.
Χαῖρε, παῖδας ἐκπαιδεύσασα, καὶ μορφώσασα Χριστόν·
χαῖρε, πίστιν ἡ διδάξασα, καὶ εὐσέβειαν Θεῷ.
Χαῖρε, τέκνων σου φύλαξ, ἀγρυπνοῦσα ἀπαύστως·
χαῖρε, πλάνου ἐνέδρας, ἐκπεράσασα πίστει.
Χαῖρε, ἀφρόνων ἔνθεον κήρυγμα·
χαῖρε, πιστῶν πραότητος γνώρισμα.
Χαῖρε, πασῶν ἀρετῶν θεία σμίλη·
χαῖρε, σοφὴ μητρικὴ προστασία.
Χαῖρε, Σύναξις ἔνθεος.

Κήρυξ τοῖς Καππαδόκοις, ὁ σὸς βίος ὑπῆρξεν, Ἐμμέλεια ὢ γύναι καὶ μῆτερ, διὸ σὺν τῷ συμβίῳ, πεντὰς τῶν σῶν τέκνων Ἅγιοι, τῇ Ἐκκλησίᾳ

ἐδείχθησαν, καὶ Μέγας ὁ Βασίλειος, οἱ μέλποντες Θεῷ ὕμνον·
Ἀλληλούϊα.

Λάμψασα θεία Νόννα, φαεινῶς εὐσεβείᾳ, μετέδωκας σὴν πίστιν τοῖς τέκνοις, ἃ καὶ ἔθρεψας θεοπρεπῶς, ἐν λόγοις καὶ ἔργοις ἀγαθοῖς, δέδωκας Ἁγίους, τῇ Χριστοῦ Ἐκκλησίᾳ, διὸ σοὶ βοῶμεν ἀσμένως·
Χαῖρε, ἀνύψωσις εὐσεβούντων·
χαῖρε, ἡ ἴασις τῶν νοσούντων.
Χαῖρε, Ἐκκλησίας λυχνία ἡ ἄσβεστος·
χαῖρε, τῆς Ναζιανζοῦ δόξα ἡ ἄφραστος.
Χαῖρε, θάλασσα βυθίζουσα, πειρασμοὺς τοὺς πονηρούς·
χαῖρε, κρήνη μύρα βλύζουσα, καὶ ἀρδεύουσα πιστούς.
Χαῖρε, πύρινη στήλη, προσευχῶν δακρυῤῥόων·
χαῖρε, τέκνων προστάτις, καὶ μητέρα Ἁγίων.
Χαῖρε, τροφὴ πεινώνων ἀδάπανος·
χαῖρε, σεμνὴ Μητέρων τὸ καύχημα.
Χαῖρε, πιστῶν ὁδηγὲ ἀληθείας·
χαῖρε, ἐξ ἧς ῥεῖθρα χέοντα θεία.
Χαῖρε, Σύναξις ἔνθεος.

Μέλλουσα εἰσιέναι, ἐν ναῷ καὶ προσεύχει, παράδοξα ἐτέλεις ὦ Νόννα, ἀτεκνίας λύσαντα δεσμὰ

Θεός, τέκνα τρίας εὐθὺς Μῆτερ ἔδωκεν, ᾧ σὺ δεῖ, εὐχαριστίαν δοῦναι, ἔφης κράζουσα τῷ Πλάστῃ·

Ἀλληλούϊα.

Νίκην κατὰ θανάτου, τοῦ Χριστοῦ μιμνησκομένη, ὑπόμεινας Ἀνθοῦσα σὴν χηρείαν, καὶ τὸ βρέφος, μητρικῇ στοργῇ συνδεδεμένη, θεοφιλῶς ἐξέφρεψας, διὸ μέλπω τῇ δούσῃ, τὸν μέγιστον Χριστοῦ Ἱεράρχην·

Χαῖρε, ἡ λάμψις τῆς ἐγκρατείας·
χαῖρε, ἡ μήτηρ τῆς ἀληθείας.
Χαῖρε, ἡ ἀντίληψις πάντων ἡ εὔπορος·
χαῖρε, δεομένων μητέρων ἡ τρόφιμος.
Χαῖρε, αὔρα θείου Πνεύματος, ἡ δροσίζουσα πιστούς·
χαῖρε, σκεῦος ἐκλαμπρότατον, ἡ ἐκτρέφουσα θνητούς.
Χαῖρε, Ἀντιοχέων πρὸς Θεὸν παραστάτις·
χαῖρε, τῶν θεοφρόνων ὁδηγὸς καὶ προστάτις.
Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις·
χαῖρε, ἁμαρτανόντων θεία παράκλησις.
Χαῖρε, στολὴ ἀρετῶν ἡ ἁγία·
χαῖρε, τρυφὴ ποθητοῦ Παραδείσου.
Χαῖρε, Σύναξις ἔνθεος.

Ξένα ὄντως ὁρῶφμεν, τὰ ἐν σοὶ ὦ Ἀνθοῦσα, τὰ τελούμενα φρικώδη θεόθεν, βιώσασα ὁσιότητι σεμνοπρεπῶς, λύπην καὶ ἅπαντα, καρτερῶς ὑπήνεγκας, νηστεύουσα, διώκουσα δαιμόνων τὴν πληθύν, καὶ ψάλλειν·

Ἀλληλούϊα.

Ὅλος πεφωτισμένη, προσευχῆς θεαρέστου, δοχεῖον τοῦ Πνεύματος ἐγένου, κατεσκήνωσε γὰρ ἀληθῶς, ἅπαν τὸ πλήρωμα ἐν σοὶ τῆς Θεότητος, ἡμεῖς δὲ τὰ σὰ γνῶντες Νόννα ἆθλα, ἐν ᾄσμασι πιστῶς βοῶμεν·

Χαῖρε, Θεοῦ ἀποῤῥήτων πύλη·
χαῖρε, σεμνὴ σωφροσύνης στήλη.
Χαῖρε, κακοδόξων δριμύτατος ἔλεγχος·
ἔπαινος.
χαῖρε, Ὀρθοδόξων ἐξαίρετος ἔπαινος.
Χαῖρε, νέφη ὑπερβάσασα, πρὸς ὁδὸν ἄνω Σιών·
χαῖρε, κάτοπτρον τοῦ Πνεύματος, καὶ οἰκήτωρ οὐρανῶν.
Χαῖρε, ἡ πενομένους ἀδελφοὺς θρεψαμένη·
χαῖρε, ἡ πλανωμένους πρὸς Θεὸν ὁδηγοῦσα.
Χαῖρε, δι’ ἧς ἀλλότριοι φεύγουσι·
χαῖρε, δι’ ἧς πολλέμιοι ἥττηνται.
Χαῖρε, πιστὴ καὶ μητέρων πληρώτις·
χαῖρε, στεῤῥὲ τοῦ σατᾶν καθαιρέτις.
Χαῖρε, Σύναξις ἔνθεος.

Πᾶσα φύσις Ἀγγέλων, κατεπλάγη ὁρῶν σου, τὸν ἔνσαρκον ἰσάγγελον βίον, ὁ ἀπρόσιτος γὰρ σὲ Θεός, χαριτώσας Νόννα, θαυμαστὴν ὄντως μετὰ τέλος πᾶσιν ἔδειξε, θαυματουργοῦσαν πιστοῖς, τοῖς κράζειν οὕτως·

Ἀλληλούϊα.

Ῥήτορσιν ἀπιστίας, ἐσοφίσω Ἀνθοῦσα, σῇ σεμνῇ πολιτείᾳ, κακοδόξους γὰρ πλάνους, δεισιδαιμονοῦντας Μῆτερ, πρὸς φῶς ἴθυνας κηρύττουσα ἐν πίστει, ἀνοθεύτως τὸν Χριστόν, διὸ σοὶ κράζω·

Χαῖρε, σοφίας Θεοῦ δοχεῖον·
χαῖρε, χαρίτων Αὐτοῦ ταμεῖον.
Χαῖρε, ἀθεΐας ἀμφίστομος μάχαιρα·
χαῖρε, κακοτρόπων ὀξύτατον φάσγανον.
Χαῖρε, ὅ,τι κατησχύνθησαν οἱ δεινοὶ αἱρετικοί·
χαῖρε, ὅ,τι κατηυφράνθη σοι τῆς Ἀντιοχείας γῆ.
Χαῖρε, πασῶν μητέρων ἐγγκαλλώπισμα θεῖον·
χαῖρε, τῶν δεομένων ταχινὴ ἀντιλήπτωρ.
Χαῖρε, φωτὸς Ἡλίου ἀπαύγασμα·
χαῖρε, πιστῶν ἀνθρώπων διάσωσμα.
Χαῖρε, ἡ γνοῦσα σατᾶν τὰς παγίδας·
χαῖρε, ἡ δοῦσα Θεῷ χρυσολόγον.
Χαῖρε, Σύναξις ἔνθεος.

Σῶσον πάντας λιταῖς σου, πανσεβάσμιε μῆτερ, Κυρίῳ δυσωποῦσα ἀπαύστως, ἐν χαρᾷ μορφήν σου, πανευλαβῶς ἀσπαζόμεθα, καὶ τιμὴν δίδομεν, ἀντίδος οὖν τὰ κρείττονα, τοῖς μέλπουσιν Ἀνθοῦσα ὕμνον·

Ἀλληλούϊα.

Τάξεις τῶν Ἀσωμάτων, ἐκμετρήσασαν βίον, ἐδέξαντο τὸ σὸν μῆτερ πνεῦμα, ὁ γὰρ Δημιουργὸς παναληθῶς, καθηγίασέ σε σοφὴ Ἐμμέλεια, ὃν

εὐηρέστησας πόνοις, διδάξας οὕτω τοῖς πιστοῖς φωνεῖν σοι·

Χαῖρε, ἡ στήλη τῆς ἐγκρατείας·
χαῖρε, ἡ θύρα τῆς εὐσπλαγχνίας.
Χαῖρε, στοργικῶς ἀναθρέψασα τέκνα σου·
χαῖρε, θεϊκῷ γαλουχήσασα γάλακτι.
Χαῖρε, ὅ,τι ἐξεπαίδευσας, ταῦτα πίστει πρὸς Χριστον·
χαῖρε, ὅ,τι πάντα ἴθυνας, εὐσεβείᾳ πρὸς Θεόν.
Χαῖρε, ἡ ἱερέως Βασιλείου συμβία·
χαῖρε, μήτηρ Ἁγίων, καὶ τροφὸς πανολβία.
Χαῖρε, κλεινὸν πιστῶν ἀγαλλίαμα·
χαῖρε, σεμνὸν μητέρων ἐντρύφημα.
Χαῖρε, γοργὴ ἀντιλήπτωρ καὶ ῥῦστις·
χαῖρε, θερμὴ πρὸς Δεσπότην μεσίτις.
Χαῖρε, Σύναξις ἔνθεος.

Ὕμνους θείους προσδέχου, ὦ Ἐμμέλεια μῆτερ, οὓς πέμπομεν πιστῶς ἐκζητοῦντες, ἵνα ῥύσῃς νοσημάτων ἡμᾶς, πειρασμῶν ποικίλλων, συμφορῶν θλίψεων, παθῶν πυρὸς κολάσεως, πρὸς Κύριον λιταῖς σαῖς, τοὺς βοῶντας·

Ἀλληλούϊα.

Φωτοδότην Δεσπότην, ἐξευμένισας Νόννα, πιστῶς βιώσασα, σὺν τῷ συζύγῳ, ἐν σοὶ γὰρ ἄϋλον ᾤκησε φῶς, ὁδηγοῦν πρὸς γνῶσιν τοῦ Θεοῦ ἄριστον, διὸ κἀμεῖς κηρύττοντες, Χριστοῦ τὰ μεγαλεῖα σοὶ βοῶμεν·

Χαῖρε, πατρίδος καὶ γένους κλέος·
χαῖρε, ἡμῶν ῥωμαλέον σφρῖγος.
Χαῖρε, εὐλαβῶν ψυχὰς ἅπτουσα Πνεύματι·
χαῖρε, τῆς Ναζιανζοῦ τὸ θεῖον ἐκβλάστημα.
Χαῖρε, ὅ,τι τὰ οἰδήματα θεραπεύεις ἀληθῶς·
χαῖρε, ὅ,τι ψυχοτραύματα, ἐπουλώνεις θαυμαστῶς.
Χαῖρε, προσευχομένων ἀρωγὸς καὶ προστάτις·
χαῖρε, τῶν ἀθυμούντων χαρωπὸς παραστάτις.
Χαῖρε, στοργὴ ἡ τέκνα ἐκθρέψασα·
χαῖρε, σφραγὶς Τριάδος τῆς πίστεως.
Χαῖρε, φωτὸς τοῦ Χριστοῦ θεῖος φάρος·
χαῖρε, πιστῶν ἀνυπέρβλητον θάῤῥος.
Χαῖρε, Σύναξις ἔνθεος.

Χάριν δίδου τοῖς πίστει, ὦ Ἐμμέλεια θεία, ἐν ὕμνοις σὴν εἰκόναν τιμῶσι, πόθον δώρησαι ἅγιον, καρποὺς πνευματιμούς, ζῆλον ἀρετῶν ἔνθεον, προθύμους ἡμᾶς πρὸς μετάνοιαν, καλὴν τ' ἀπολογίαν, Θεῷ ψάλλειν·
Ἀλληλούϊα.

Ψάλλομεν θεία μέλη, εὐφημοῦντές σε μῆτερ, Ἀνθοῦσα τῶν πιστῶν αἱ χορεῖαι, διὸ σὴν ἑορτὴν τιμῶμεν, ἀγαλλιόμενοι, νήφοντες εὐχόμενοι, αἰτήματα προσφέροντες, ἃ πρόσδεξαι, καὶ δὸς τὰ κρείττῳ, τοῖς σοὶ ᾄδειν·
Χαῖρε, στολὴ εὐπρεπείας θεία·
χαῖρε, τερπνὴ σωφροσύνης στήλη.
Χαῖρε, κιβωτὲ καὶ ναὲ ἁγιάσματος·

χαῖρε, θησαυρὲ καὶ κρουνὲ θείας χάριτος.
Χαῖρε, πίστεως ὑπέρμαχος, σωτηρία εὐσεβῶν·
χαῖρε, καύχημα σεβάσμιον, τῶν μητέρων εὐλαβῶν.
Χαῖρε, τῆς Ἐκκλησίας τὸ ἀσύλητον γέρας·
χαῖρε, τῶν Ὀρθοδόξων τὸ παμπόθητον κέρας.
Χαῖρε, δι᾿ ἧς ηὐγάσθη ἡ σύμπασα·
χαῖρε, δι᾿ ἧς Χρυσόστομος ἔλαμψεν.
Χαῖρε, πιστῶν ταπεινῶς ζώντων φύλαξ·
χαῖρε, ψυχῶν σωτηρίας ἡ πρέσβυς.
Χαῖρε, Σύναξις ἔνθεος.

Ὢ χορεία Ἁγίων, σὺν Ἀνθούσῃ καὶ Νόννῃ, Ἐμμέλεια φωστήρων μητέρες *(γ΄)*, τοῖς μέλπουσι τήνδε τὴν ᾠδήν, λυτρώσασθε πάσης συμφορᾶς θλίψεως, καὶ τοῖς πιστοῖς πρεσβεύσατε Θεῷ σωθῆναι, τοῖς βοῶσιν·
Ἀλληλούϊα.

